μοὺς ἱερῶν καὶ θυμιαμάτων. ἢ ὅτι στεφανηφοροῦντες τὰς θυσίας ἐτέλουν. Θαλίαι.] εὐδαιμονίαι. εὐθηνίαι. ἀκμαί. εὐφροσύναι. πανηγύρεις.

BISETVS. Θαλίαι.] Εὐστάθιος. θάλεια προπαροξυτόνως διὰ τὸ ἐπίθετον, καὶ ὄνομα Μούσης τινός, καὶ Νηρεΐδος. θαλία παροξυτόνως διὰ τοῦ ι, ἡ εὐωχία, παρὰ τὸ θάλλειν. Ἀθήναιος δὲ ἐν τῷ β. τῶν δειπνοσοφ. περὶ τούτου ταῦτα λέγει. Σέλευκός δέ φησι τὸ παλαιὸν οὐκ

A εἶναι ἔθος οὔτ' οἶνον ἐπὶ πλεῖον, οὔτ' ἄλλην ἡδυπάθειαν προσφέρεσθαι μὴ θεῶν ἕνεκα τοῦτο δρῶντας. διὸ καὶ θοίνας, καὶ θαλίας, καὶ μέθας ὠνόμαζον. τὰς μὲν, ὅτι διὰ τοὺς θεοὺς οἰνοῦσθαι δεῖν ὑπελάμβανον. τὰς δέ, ὅτι θεῶν χάριν ἠλίζοντο, καὶ συνήεσαν. τοῦτο γάρ ἐστι τὸ δαῖτα θάλειαν. τὸ δὲ μεθύειν φησὶν Ἀριστοτέλης, τὸ μετὰ τὸ θύειν αὐτῷ χρῆσθαι.

Παντοδαπαῖσιν ἐν ὥραις.
Ἦρί τ' ἐπερχομένῳ, Βρομία χάρις,
Εὐκελάδων τε χορῶν ἐρεθίσματα,
Καὶ μοῦσα βαρύβρομος αὐλῶν.
Στρ. Πρὸς τοῦ Διὸς ἀντιβολῶ σε φράσον τίνες εἴσ' ὦ Σώκρατες αὗται
Αἱ φθεγξάμεναι τοῦτο τὸ σεμνόν; μῶν ἡρῷναί τινές εἰσιν;
Σω. Ἥκιστ', ἀλλ' οὐράνιαι Νεφέλαι μεγάλαι θεαὶ ἀνδράσιν ἀργοῖς,
Αἵπερ γνώμην καὶ διάλεξιν, καὶ νοῦν ἡμῖν παρέχουσιν,
Καὶ τερατείαν καὶ περίλεξιν, καὶ κροῦσιν καὶ κατάληψιν.
Στρ. Ταῦτ' ἄρ' ἀκούσασ' αὐτῶν τὸ φθέγμ' ἡ ψυχή μου πεπότηται.
Καὶ λεπτολογεῖν ἤδη ζητεῖ, καὶ περὶ καπνοῦ στενολεσχεῖν.
Καὶ γνωμιδίῳ γνώμην νύξασ' ἑτέρῳ λόγῳ ἀντιλογῆσαι.
Ὥστ' εἴ πως ἐστὶν ἰδεῖν αὐτὰς ἤδη φανερῶς ἐπιθυμῶ.

B *Tempore festus in omni:*
*Vere nouo Bromij Charites Dei,*
*Frondicomique chori certamina,*
*Et suaui tibia cantu.*
ST. *Per summum ego te oro Iouem: dicas mihi, quæ sunt, Socrates, istæ?*
*Quæ adeò grauiter dixerunt? Vtrum sunt Heroides altæ?*
C SO. *Minimè, sed Nubes cœlestes, magna viris numina pigris:*
*Quæ sensum & mentem nobis suppeditant, viresque loquendi,*
*Nugandi, circumscribendi, apprehendendi, animosque mouendi.*
ST. *Certè meus hic animus, quàm primùm audiuit verba loquentum,*
D *In pectus continuò emicuit: & iam subtilia rerum*
*Euoluere gestit, iam nugari de fumo incipit: & iam*
*Sententiolam vnam alia conuellit: iam verbis aliorum*
*Contradicit. Itaque nunc earum, vbi vbi sint, aueo ora tueri.*

Σχόλια. Παντοδαπαῖς ἐν ὥραις.] διηνεκῶς. παντὶ καιρῷ, διὰ τὸ θρησκεύειν πάντας θεοὺς καὶ πανηγυρίζειν ἀεί, θύουσι διαπαντὸς καὶ διηνεκῶς. Ἦρί τ' ἐπερχομένῳ.] τὴν παροῦσαν ἑορτὴν λέγει. τουτέστι τὰ Διονύσια. ἀρχομένου γὰρ τοῦ ἦρος, ἄρχεται ἡ πανήγυρις. βρομία δὲ χάρις οἱ Διονυσιακοὶ ἀγῶνες, ἐν οἷς αἱ ἅμιλλαι τῶν χορῶν. Εὐκελάδων τε χορῶν.] προσηύλουν γὰρ τοῖς τραγικοῖς καὶ τοῖς κωμικοῖς. ἐπηύλων δὲ προηγουμένως τοῖς κυκλίοις χοροῖς. εὐκελάδων δὲ τῶν εὐμούσων καὶ ἡδέων χορῶν. ἐρεθίσματα δὲ ἤγουν ἅμιλλαι ἢ ὄργανα μουσικά. τοῖς γὰρ Διονυσίοις τοὺς κυκλικοὺς χοροὺς ἵστασαν. καὶ ἠγωνίζοντο οἱ κωμικοὶ καὶ οἱ τραγικοὶ ποιηταί, ἀναγορεύοντες τὰ ὑπόγυιον αὐτοῖς πεποιημένα δράματα. Πρὸς τοῦ Διός.] ἔκθεσις διπλῆς ἀμοιβαίας καθόλου. ἐκ στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν, ρκέ. ὧν τελευταῖος διὰ τοὺς ἵππους τοὺς κοππατίας ἢ τὸν γάμον, ὅς μ' ἐπέτριψεν. καλεῖται δὲ τὸ μέτρον Ἀριστοφάνειον ὡς εἴρηται. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Τοῦτο τὸ σεμνόν.] λεληθότως φασὶν ἑαυτὸν ἐπαινεῖ, σεμνὸν εἶναι λέγων τὸ μέλος. ἔστι γὰρ τοῦτο ἀληθές. ὁ δὲ τὸν ἔπαινον ἐπὶ τὰς Νεφέλας τρέπων οὐκ οἴεται φορτικὸς εἶναι. Μῶν ἡρῷναι.] ἀττικὴ ἡ σύνταξις τό, ἡρῷναι. ὡς ἡμίθεοι ἡμίθεοι. κατὰ δὲ τὸ ἀρχαῖον καὶ σύνηθες αὐτῷ, ἐνθάδε τρισυλλάβως προήνεγκε τὸ ἡρῷναι. Ἀνδράσιν ἀργοῖς.] τοῖς φιλοσόφοις. διασύρει δὲ αὐτοὺς πάλιν. ὠφέλιμοί φησι τοῖς ἀνθρώπων ἀπράκτοις. οἱ γὰρ ἀργοὶ κεχήνασιν εἰς

E τὰς Νεφέλας. Αἵπερ γνώμην.] αἵπερ σύνεσιν καὶ φρόνησιν ὡς τὰ δέοντα νοεῖν. καὶ διάλεξιν λόγων. ἐμπειρίαν. ὥστε τὰ νοηθέντα φράζειν δύνασθαι. Νοῦν.] σύνεσιν. Τερατείαν.] ψευδολογίαν. Περίλεξιν.] περιττολογίαν, περίφρασιν. Κροῦσιν.] ἀπάτην, δοκιμασίαν. παραλογισμόν. κατάληψιν. εὕρεσιν. τὰ αὐτὰ δὲ καὶ διεξοδικώτερον ἑρμηνευτέον ἂν εἴη πάλιν ἐπαναλαβόντας. διάλεξιν τοίνυν λόγων ἐμπειρίαν ὡς ἔφαμεν. ὥστε τὰ νοηθέντα δύνασθαι ἑρμηνεύειν. διαφέρει δὲ διάλεκτος καὶ διάλεξις. διάλεκτος μὲν γάρ ἐστι φωνῆς χαρακτὴρ ἐθνικός. διάλεξις δὲ τῆς συνήθους φωνῆς ἐπὶ τὸ σεμνότερον ἐκτροπὴ
F καὶ ἐπὶ τὸ ἀγροικότερον. τερατείαν δέ, τερατολογεῖν καὶ ἀπίθανα διηγεῖσθαι. καὶ λέγειν πράγματα ἐπέκεινα τῶν ἀνθρωπίνων. περίλεξιν δὲ περιττῶς ἢ περιέργως περιτείνεσθαι διὰ λόγων καὶ δύνασθαι ἑρμηνεύειν τὸ νοηθέν. ὅπερ ἐστὶ λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου. δείκνυσι δὲ ἐξ ὅσων συνέστηκε ῥητορική. δεῖ γὰρ νοεῖν, εἶθ' ἑρμηνεύειν ὅπερ ἐστὶ λοιπὸν ἔργον τῆς ἐξηγήσεως τοῦ λόγου. ἢ τὸν παραλογισμὸν καὶ τὴν ἀπάτην. τὸ συναρπάσαι τὸν ἀκούοντα. ἢ δοκιμασίαν. ἐπεὶ τὰ σαθρὰ κροτούμενα δοκιμάζεται. κατάληψιν. τὴν γνῶσιν αἴσθησιν καὶ τὴν τέχνην. οὕτω γὰρ ὁριζόμεθα τὴν τέχνην. ὅτι σύστημα ἐκ
G καταλήψεων ἐγγεγυμνασμένων. καὶ τὰ ἑξῆς. κατάληψιν δὲ εἰώθασιν οἱ μουσικοὶ λέγειν, ἐπειδὰν πλήξαντες τοῖς δακτύλοις ἢ τῷ πλήκτρῳ τὰς χορδὰς καταλάβωσι καὶ ἀποτείνωσι τὸν φθόγγον. Πεπότηται.] ἀνέπτη